## XII

Λοκρίδος ἐν νέμεϊ σκιερῷ νέκυν Ἡσιόδοιο
  Νύμφαι κρηνίδων λοῦσαν ἀπὸ σφετέρων
καὶ τάφον ὑψώσαντο, γάλακτι δὲ ποιμένες αἰγῶν
  ἔρραναν ξανθῷ μιξάμενοι μέλιτι·
τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν, ἐννέα Μουσέων
  ὁ πρέσβυς καθαρῶν γευσάμενος λιβάδων.

## XIII

οὐδὲ θανὼν ὁ πρέσβυς ἑῷ ἐπιτέτροφε τύμβῳ
  βότρυν ἀπ' οἰνάνθης ἥμερον, ἀλλὰ βάτον
καὶ πνιγόεσσαν ἄχερδον, ἀποστύφουσαν ὁδιτῶν
  χείλεα καὶ δίψει καρφαλέον φάρυγα.
ἀλλά τις Ἱππώνακτος ἐπὴν παρὰ σῆμα νέηται
  εὐχέσθω κνώσσειν εὐμενέοντα νέκυν.

## XIV

πᾶσά τοι οἰχομένῳ, Πυλάδη, κωκύεται Ἑλλάς
  ἄπλεκτον χαίταν ἐν χροῒ κειραμένα,
αὐτὸς δ' ἀτμήτοιο κόμας ἀπεθήκατο δάφνας
  Φοῖβος, ἑὸν τιμῶν ᾗ θέμις ὑμνοπόλον,
Μοῦσαι δ' ἐκλαύσαντο, ῥόον δ' ἔστησεν ἀκούων
  Ἀσωπὸς γοερῶν ἦχον ἀπὸ στομάτων,
ἔλληξεν δὲ μέλαθρα Διωνύσοιο χορείης,
  εὖτε σιδηρείην οἶμον ἔβης Ἀίδεω.